Ἐπίβαλε, περί τε κύκλωσαι.
Ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω.
Καὶ δοῦναι ῥύγχει φορβάν.
Οὔτε γὰρ ὄρος σκιερὸν, οὔτε νέφος αἰθέριον,
Οὔτε πολιὸν πέλαγος ἐστὶν, ὅτι δέξεται
Τώδ' ἀποφυγόντε με.
Ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.
Ποῦ 'σθ' ὁ ταξίαρχος. ἐπαγέτω τὸ δεξιὸν κέρας.
Ευ. Τοῦτ' ἐκεῖνο. ποῖ φύγω δύστηνος. Πει. οὗτος, οὐ μενεῖς;
Ευ. Ἵν' ὑπὸ τούτων διαφορηθῶ; Πει. πῶς γὰρ ἂν τούτους δοκεῖς,
Ἐκφυγεῖν; Ευ. οὐκ οἶδ' ὅπως ἄν. Πει. ἀλλ' ἐγώ τοι σοι λέγω.
Ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν χυτρῶν.
Ευ. Τί δὲ, χύτρα νώ γ' ὠφελήσει. Πει. γλαῦξ μὲν οὐ πρόσεισι νῷν.
Τοῖς δὲ γαμψώνυξι τοῖσδε τὸν ὀβελίσκον ἁρπάσας,
Εἶτα κατάπηξον πρὸς αὐτόν. Ευ. τοῖσι δ' ὀφθαλμοῖσι τί;
Πει. Ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν, ἢ τρύβλιον.
Ευ. Ὦ σοφώτατ' εὖ γ' ἀνεῦρες αὐτὸ, καὶ στρατηγικῶς.
Ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν ταῖς μηχαναῖς.

A *Injce, circundáque:*
*Quòd oportet hos lugere ambos,*
*Et dare rostro nutrimentum.*
*Neque enim mons vmbrosus, neque nebula ætheria,*
*Neque album pelagus est, quod suscipiat*
*Hos aufugientes me.*
*Sed non trademus iam hos vellere & mordere.*
B *Vbi est princeps? inducatur dextrum cornu.*
*Eu. Hoc illud, quò fugiam infelix?* PI. *Hic non manebis?*
EV. *Vt ab his dilanier.* PI. *Quomodo enim hos putas*
*Effugere?* EV. *non scio quomodo.* PI. *Sed aliquid tibi dico,*
C *Quòd quidem oportet pugnare, caperéque ollas.*
EV. *Quid autem olla nos iuuabit?* PI. *Glaux quidem non procedit nobis,*
*His autem curuis vngues hic, veru rapiens,*
*Postea defige ad ipsum.* EV. *His autem oculis quid?*
PI. *Vas acetorium illinc appone capiens, vel catinum.*
D EV. *O sapientissime, bene inuenisti ipsum, & militariè,*
*Superas tu iam Niciam inuentionibus.*

Σχόλια. Ἰὼ ἰώ.] ἔκθεσις χοροῦ ἑτέρα ἀντίστροφος τῆς ἤδη ῥηθείσης στροφῆς. ἐκ κώλων ὁμοίων καὶ στίχων ή. εἰσὶ δὲ τὰ μὲν ε ἀναπαιστικὰ ἀναλόγως τοῖς τῆς στροφῆς. τὰ δὲ τρία παιωνικὰ ὡς καὶ τὰ τῆς στροφῆς. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι. ἄλλως. ἔπαγε. παρακελεύονται ἑαυτοῖς ὡς ἐν πολεμικῇ παρατάξει, βουλόμενοι κατ' αὐτῶν ὁρμῆσαι. Ἐπίβαλε περί τε κύκλωσαι.] ὡς ὅπλον πανταχοῦ. τοῦτο γὰρ πάντα γε τὴν πτῆσιν τὴν ἐπὶ φόνῳ γινομένην περίαγε. Καὶ δοῦναι ῥύγχει φορβάν.] Ἀσκληπιάδης φησὶν, ἀπὸ Ἀνδρομέδας εἶναι. ὡς καὶ τὸ, τὰ γὰρ ταῦτα πάντα. καὶ ἐκεῖσε δεῦρο. γράφεται καὶ ῥάμφει. ὅπερ βέλτιον. ῥάμφος γὰρ ἐπὶ ὀρνέου. ἐπὶ δὲ χοίρου ῥύγχος. ἄλλως. παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας. ἐκθεῖναι κήτει φορβάν. ὡς Ἀσκληπιάδης, τὰ μὴ δὲ διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος. καὶ τὸ, τὰ γὰρ ταῦτα πάντα. καὶ τὸ, τῇδε καὶ τὸ κεῖσε. παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησιν. καὶ ἐκεῖσε καὶ δεῦρο μηδ' ὅλως τίαση. καὶ ὅλως παραπλήσιον πολὺ τὸ τοιοῦτον. Οὔτε γὰρ ὄρος.] εἰς ὃ μάλιστα ἀποφυγή τις ἐστὶν ἀσφαλής. Ἐπαγέτω τὸ δεξιὸν κέρας.] ἀντὶ τοῦ προηγείσθω κατὰ τὸ δεξιὸν μέρος. ὡς ἐπὶ πολέμου δὲ τοῦτο φησί. τῶν γὰρ ταγμάτων, τὸ μὲν μέσον, μέτωπον, ὃ ἐκ πολλοῦ πλήθους συνίσταται. τῶν δ' ἑκατέρωθεν, τὸ μὲν δεξιόν. τὸ δ' ἀριστερὸν ὀνομάζεται. E Ὅτι μένοντε.] ἐπεὶ μὴ δυνάμεθα φυγεῖν, κἂν μαχεσάμεθα μένοντες. Λαμβάνειν τε τῶν χυτρῶν.] φοβεῖται γὰρ τὴν χύτραν τὰ ὄρνεα διὰ τὸ μέλος αὐτῶν. Γλαῦξ μὲν οὐ πρόσεισι νῷν.] οὐ διὰ τὴν χύτραν οὐ πρόσεισιν ὡς καὶ Εὐφρόνιος. τοῦτο γὰρ κοινῶς πάντα τὰ ὄρνεα φοβεῖ. ἀλλὰ διὰ τὸ Ἀττικὸν εἶναι τὸ ζῶον. Ἀττικοὶ δὲ καὶ αὐτοί. Τοῖς δὲ γαμψώνυξι.] τοῖς ὑπoκύφους ἔχουσιν ὄνυχας. Τὸν ὀβελίσκον ἁρπάσας.] πῆξον αὐτὸν πρὸς τὴν χύτραν. Ἢ τρύβλιον.] ὅτι τὸ τρύβλιον μεῖζον τοῦ ὀξυβάφου. Ὑπερακοντίζεις σύ γ' ἤδη.] F νικᾷς ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις ἀγωνιζομένων. Νικίαν.] φρονιμώτατα γὰρ λιμῷ Μηλίους ἀνεῖλεν.

BISETVS. Ὁ τῶν ὀρνίθων χορὸς τὸ πολεμικὸν κατὰ τοῦ Εὐέλπιδος, καὶ Πεισθεταίρου ᾄδει, καὶ πάντας πρὸς τὴν τούτων διαφόρησιν, καὶ διασπασμὸν ἐξεγείρει. ἀλλ' Ἔποψ ἐπελθὼν τῇ αὐτοῦ παρουσίᾳ, καὶ ἐπιτιμήσει τὴν αὐτῶν ὁρμὴν καταπραΰνει, καὶ παύει. G

Χο. Ἐλελελεῦ. χώρει. κάθες τὸ ῥύγχος. οὐ μέλλειν ἐχρῆν.

CH. *Eleleleu, procede, depone rostrum, non tardare oportet.*

Σχόλια.